*βάλλοντες εἰς μέσον κατακόπτουσι. τὴν μὲν οὖν μάχην ἐπὶ* D
*πολλὰς ἡμέρας γενέσθαι καὶ κρατῆσαι τὸν Ὧρον· τὸν*
*Τυφῶνα δὲ τὴν Ἶσιν δεδεμένον παραλαβοῦσαν οὐκ ἀνελεῖν,*
*ἀλλὰ καὶ λῦσαι καὶ μεθεῖναι· τὸν δ' Ὧρον οὐ μετρίως*
*ἐνεγκεῖν, ἀλλ' ἐπιβαλόντα τῇ μητρὶ τὰς χεῖρας ἀποσπάσαι*
*τῆς κεφαλῆς τὸ βασίλειον· Ἑρμῆν δὲ περιθεῖναι βούκρανον*
*αὐτῇ κράνος. τοῦ δὲ Τυφῶνος δίκην τῷ Ὥρῳ νοθείας*
*λαχόντος βοηθήσαντος [δὲ] τοῦ Ἑρμοῦ [καὶ] τὸν Ὧρον ὑπὸ*
*τῶν θεῶν γνήσιον κριθῆναι· τὸν δὲ Τυφῶνα δυσὶν ἄλλαις*
*μάχαις καταπολεμηθῆναι. τὴν δ' Ἶσιν ἐξ Ὀσίριδος μετὰ*
*τὴν τελευτὴν συγγενομένου τεκεῖν ἠλιτόμηνον καὶ ἀσθενῆ*
*τοῖς κάτωθεν γυίοις τὸν Ἁρποκράτην.* E

**20.** *Ταῦτα σχεδόν ἐστι τοῦ μύθου τὰ κεφάλαια τῶν*
*δυσφημοτάτων ἐξαιρεθέντων, οἷόν ἐστι τὸ περὶ τὸν Ὧρου*
*διαμελισμὸν καὶ τὸν Ἴσιδος ἀποκεφαλισμόν. ὅτι μὲν οὖν,*
*εἰ ταῦτα περὶ τῆς μακαρίας καὶ ἀφθάρτου φύσεως, καθ'*
*ἣν μάλιστα νοεῖται τὸ θεῖον, ὡς ἀληθῶς πραχθέντα καὶ*
*συμπεσόντα δοξάζουσι καὶ λέγουσιν, ʽἀποπτύσαι δεῖ καὶ*
*καθήρασθαι' τὸ ʽστόμα' κατ' Αἰσχύλον* (fr. 354), *οὐδὲν*
*δεῖ λέγειν πρὸς σέ· καὶ γὰρ αὐτὴ δυσκολαίνεις τοῖς οὕτω*
*παρανόμους καὶ βαρβάρους δόξας περὶ θεῶν ἔχουσιν·*
*ὅτι δ' οὐκ ἔοικε ταῦτα κομιδῇ μυθεύμασιν ἀραιοῖς καὶ*
*διακένοις πλάσμασιν, οἷα ποιηταὶ καὶ λογογράφοι καθάπερ* F
*οἱ ἀράχναι γεννῶντες ἀφ' ἑαυτῶν [ἀπ]αρχὰς ἀνυποθέτους*
*ὑφαίνουσι καὶ ἀποτείνουσιν, ἀλλ' ἔχει τινὰς ἀπορίας καὶ*
*παθῶν διηγήσεις, ⟨γινώσκεις⟩ αὐτή. καὶ καθάπερ οἱ*
*μαθηματικοὶ τὴν ἶριν ἔμφασιν εἶναι τοῦ ἡλίου λέγουσι*